δομήση καὶ ἐκκλησίαν, ἐὰν θέλῃ. Καὶ διδῶσι καὶ πάντες οἱ πραγματευταὶ αὐτοῦ ὑπὲρ τῶν ἰδίων κομμερκίων δύο εἰς τὰ ἑκατόν· ἐμβάλλοντες καὶ ἐκβάλλοντες πάντες οἱ Ῥαγουζαῖοι πάντα τὰ ἑαυτῶν ἐλευθέρως, ἄνευ τινὸς ἐμποδισμοῦ· καταβάλλοντες μόνον περὶ τῶν εἰσερχομένων αὐτῶν πραγματειῶν, ὅταν ἔρχωνται, δύο εἰς τὰ ἑκατόν. Καὶ ταῦτα ἐννοῶνται εἰς ἐμβολὴν καὶ ἐκβολήν, καὶ πλέον μὴ ἀπαιτεῖσθαι περὶ ὧν καταβέβληται οὕτω, ὡς ἔφημεν. Ὀφείλοντες καὶ οἱ κατὰ καιροὺς ἡμέτεροι κομμερκιάριοι λαμβάνειν τὰ δύο εἰς τὰ ἑκατόν, εἴτε ἐπ' ἀγορᾷ ἔχωσι τὴν τοιαύτην δουλείαν τοῦ κομμερκίου εἴτε ἐπὶ τῷ πιστῷ, ὁπόταν ἔρχωνται μετὰ τῶν ἰδίων A πραγματειῶν. Καὶ κατοικοῦσι καὶ ἐνταῦθα ὅσοι ἐξ αὐτῶν βούλονται· ὁμοίως τε ἕξει καὶ τὰ λοιπά, ὡς ἀνωτέρω πλατύτερον διαλαμβάνεται. Καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο πρὸς αὐτὸ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα Ἰούνιον τῆς νῦν τρεχούσης ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης τοῦ ἑξακισχιλιοστοῦ ἐνναχοσιοστοῦ πεντηκοστοῦ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

*Κωνσταντῖνος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.*

---

# ADDENDA

## ΜΟΝΩΔΙΑ ΚΥΡΟΥ ΑΝΔΡΟΝΙΚΟΥ ΤΟΥ ΚΑΛΛΙΣΤΟΥ ΕΠΙ ΤΗ ΔΥΣΤΥΧΕΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

(Ex cod. Reg. Paris. 1774, f° 348, nunc primum edita.)

Αἶ, αἶ, καὶ τοῦτ' ἄρ' ἐχρῆν ταῖς τῶν Ἑλλήνων προστεθῆναι κοιναῖς συμφοραῖς, τά τε προλαβόντα πάθη λίαν νικῶν καὶ μηδεὶς νοῦν ἐμβαλεῖν ἔσεσθαί ποτε μεῖζον. Εἰ γοῦν τοιοῦτον ὅλως ἐὼν ὃ γὰρ μόνον εἴχομεν ἀπολειφθὲν ἀγαθόν, καὶ πρὸς ὃ προσεδόκα πᾶς ὁ τῶν Ἑλλήνων ἑσμός, τοῦτο δυστυχῶς ἀφῃρέθη νῦν ἀφ' ἡμῶν. Ἄλγους γὰρ ἡμῶν ἐμπλῆσαν καὶ δεινῆς συμφορᾶς. Καί τοι κἂν εἰ παρῆσαν ἄλλα πολλά· πρὸς ἅπερ εἰκὸς ἀφορᾷν τοσοῦτόν ἐστι τὸ παρὸν, ὡς ἀποκρύπτειν πάντα καὶ κατόπιν ἐᾷν. Νῦν γὰρ ἡ κοινὴ τῶν Ἑλλήνων ἑστία ἡ διατριβὴ τῶν μουσῶν, ἡ τῆς ἐπιστήμης ἁπάσης διδάσκαλος, ἡ τῶν πόλεων βασιλὶς ἑάλω, φεῦ χερσὶν ἀσεβῶν. Εἰ μὲν οὖν κατακλυσμὸν τουτὶ φαίη τις ἄν, οὐκ, οἶμαι, παραστήσει τὸ τοῦ πάθους ἅλις δεινόν. Ἐκείνῳ μὲν γὰρ συμβάντι ἀπώλετ' ἂν ἅπαν, καὶ λόγος ἦν οὐδεὶς ἔτι οὐδ' ἂν ἔπαθέ τι κακὸν ὁ κρατῶν ὑπὸ τοῦ χείρονος, τῷ δὲ συμβάντι νυνὶ, περίεστιν ὁρᾷν μυρία δεινὰ, καὶ λόγον νικώμενον ἀλογίᾳ καὶ ἰλίγγου πάντα καὶ ζάλης μεστὰ, καὶ κατακλυσμὸν ἀληθῶς ἐφιστάμενον ταῖς ψυχαῖς.

Ὅσῳ τοίνυν τῆς τοῦ σώματος λώβης κακίων ἡ τῆς ψυχῆς, καὶ ὅσῳ τὸ κακῶς ζῆν τοῦ μὴ ζῆν, τοσούτῳ τὸ νῦν ἐπισκωμᾶσαν δεινὸν, ὑπερέχει κατακλυσμοῦ· εἰ δ' ἡλίου τις φαίη φθορὰν καὶ σκότος κοινὸν, οὐδ' οὕτως ἀξίως ἐκτραγῳδήσειε τὴν ξυμφοράν, οὐ μόνον ὅτι τὸ μὲν αἰσθητοὺς μόνους ἔβλαπτεν ἂν ὀφθαλμούς· τὸ δὴ τοὺς τῆς ψυχῆς μὲν προσεχῶς, B ἑπομένως δὲ καὶ τοῦ σώματος. Ἀλλ' ὅτι καὶ κρεῖττον ἐμοὶ δοκεῖ πάντῃ τὰς αἰσθήσεις πεπηρῶσθαι, τὸν ἐν μέσῳ πολλῶν παρόντα δεινῶν, ὡς ἂν ἄγηστος ἢ τῶν τηλικούτων παθῶν ἢ κεκτῆσθαι αὐτὰς ὑγιεῖς καὶ ἀντιλαμβάνειν ἐκείνων ἃ πάσης ἐστὶν ἀηδίας μεστά. Νῦν γὰρ ὁ κακὸς βλάψει τὸν ἀρείονα φῶτα, μύθοισι, σκολιοῖς ὀνοτάζων· αἰδὼς δὲ καὶ νέμεσις ὡς ἀληθῶς προλιπόντ' ἀνθρώπους ἐς Ὄλυμπον ἴξεσθον· τὰ δὲ λείψεται ἄλγεα λυγρά, κακοῦ δ' οὐκ ἔσεται ἀλαλκή. Εἰ μὲν ἀληθῶς ἄνθρωπος πάλαι γέγονεν ὑπὸ πάθους ὄρνις, ἢ δένδρον ἢ λίθος, μᾶλλον νῦν ἐχρῆν πάντας τοῦτο παθεῖν, ὅσον καὶ μείζων ἡ ξυμφορά. Εἰ δὴ ψεῦδος ἐκεῖνα ὡς καὶ πολλὰ τοῖς τῶν μύθων ἄλλα πατράσιν ἐῤῥέθη, ἀλλὰ νῦν ἐχρῆν γενέσθαι ὡς ἂν τῇ τοῦ πάθους ὑπερβολῇ συνεξυφαίνοιτο καί C τινα τέρατα θαυμαστὰ ἐκπλήττοντα πᾶσαν ὅρασίν τε καὶ ἀκοήν· ὃ δὴ καὶ γεγονέναι νομίζω, πλὴν καθ' ὅσον ὁ μὲν μῦθος τὴν φύσιν μόνον ἀλλάσσει ἐκείνων, τὸ δὲ δάκρυον ἔχειν φημὶ νῦν δ' ἀντιστρόφως· ἡ μὲν φύσις ἐστὶν ἀνθρώπων καθάπερ ἦν, τὸ δὲ δάκρυον ἀφῃρέθη πάντῃ μετὰ τοῦ λόγου, πολλῆς ἐπιτεθείσης ἀναισθησίας ταῖς τῶν πάθει κατειλημμένων ψυχαῖς. Οὕτω γὰρ τότε πολύφυες ἀμαυροῦν εἶδε τὰς ὄψεις, ὅ τε βαρὺς κτύπος πλήττειν τὰς ἀκοάς, καὶ νῦν λοιπὸν ἡ ψυχὴ τῷ πάθει ὥσπερ τινὶ τάφῳ κρυφθεῖσα, οἷον ἀναίσθητον ὁρᾷ τὸ σῶμα, οὕτω τοίνυν τοῦ δεινοῦ πεφυκότος μεγίστου, ποίαν μὲν ῥήξω φωνήν; ἐξαρκοῦσαν αὐτῷ,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥ. ΛΑΤΡΣ Κ.Π.Π.
ΙΩΑΝΝΙΝΑ 2006

εἴπερ δεῖ λέγειν. Πῶς γὰρ ἀρκέσει μοι φωνὴ μία καὶ γλῶττα καὶ χεῖρας ἁπλᾶς κοπτομένῳ τε καὶ βοῆς τὸν ἀέρα πληροῦντι; τίς δὲ θρῆνος οὐ νῦν ἀσθενὴς ἔσται πρῶτον καὶ τῆς ὑποθέσεως χεῖρον; Πῶς δ' αὖ χρήσασθαι τῇ σιγῇ δυνηθῶ, κἂν ἀσφαλὲς τοῦτο δοκεῖ τοῖς πολλοῖς, μὴ δόξας ἀδικεῖν οὐ τὴν ἐνεγκοῦσαν μόνον, ἀλλὰ καὶ ὅλους αὐτοὺς, οἷς καὶ δεξιοῦσθαι χρὴ τὴν δωρησαμένην καὶ πάντα τὸν τῶν Ἑλλήνων ἑσμὸν, εἶ συμφθεροῦνται φθαρήσῃ· ἐῶ δὲ λέγειν ναοὺς καὶ θήκας καὶ ἱερὰ σκεύη καὶ οἰκοδομὰς καὶ φαιδρότητας, σὺν χρηστῷ βασιλεῖ καὶ συγγενέσι, καὶ φίλοις τῶν ἕκαστον πρός τινα θρῆνον ἂν οὐκ ἐκίνησε μὴ ὅτι γε πάντα συλλήβδην, τὸν μὴ τὴν διάνοιαν πάντη πεπηρωμένον.

Φεῦ οἵαις ἀπορίαις ἐμπεριείλημμαι, οἵοις διευθύνω κακοῖς ἐμαυτόν· οἵαις ὁ λόγος ἐντυγχάνει ταῖς συμφοραῖς πλὴν ἀλλ' εἰ μὲν ἰσχύσαι τινὰ κατ' ἀξίαν δρᾶσαι τὸν θρῆνον ἦγουν τῆς ἀξίας ἐγγὺς λόγον ἂν εἶχεν ἡμῖν ἡ παραίτησις ἀδυνατοῦσι πρὸς τοῦτο. Ἐπεὶ δὲ οὐδ' Ὀρφεὺς, εἰ παρῆν, οὐδ' Αἰσχύλος, οὐδ' ὁ τῶν τραγῳδῶν ἁπάντων ἑσμὸς ἴσχυσεν ἂν, ἀλλ' ἥττητο πάντη, πυγμαῖός τις φανεὶς παραβαλλόμενος Ἡρακλεῖ, δοκεῖ κἀμοὶ τοῖς πένησι λόγοις χρησάμενον, ἐπὶ ξένης ὄντα θρηνῆσαι τὴν ἐμαυτῷ καὶ κοινὴν ξυμφορὰν, τί λοιπὸν οὕτω πλάττω τοὺς λόγους, ἀλλ' οὐκ ἀνιαρὰν ἐκπέμπω φωνὴν, οἵαν εἰκὸς, ἐν τοῖς τοιούτοις κακοῖς· τί μὴ τὰς χεῖρας ἐκτείνων μετ' οἰμωγῆς τύπτω μὲν τὰ στήθη καὶ τέμνω, τοῖς ὄνυξι δὲ ξαίνω τὰς παρειὰς καὶ πάττομαι τέφραν καὶ κόνιν, καὶ τίλλω τὰς τρίχας, ὡς ἂν μὴ μόνον πάσχῃ ψυχὴ, ἀλλὰ καὶ τὸ σῶμα, τῷ μεγέθει τῆς ξυμφορᾶς! Φεῦ, ὦ βασιλὶς τῶν πόλεων, καὶ πατρίδος ἥτις ἐκ τοσαύτης ἀξίας δούλειον ἦμαρ εἶδες, ὡς πράττεις κακῶς ὅσονπερ πάλαι καλῶς, ἀντισηκώσας δή σε δαίμων τις φθονερὸς, φθείρει τῆς πάροιθεν εὐπραξίας παραχωρήσει Θεοῦ ἀχρηστίαν κατεγνωκότος ἡμῶν· ἄλλως γὰρ οὔτε τύχην ἄν τις εἴποι τοῦ παρόντος αἰτίαν κακοῦ διάνοιαν οὖσαν ἀνάπλασμα οὐθ' ὁ φθονερὸς δαίμων, κἂν φύσει τυγχάνῃ σφόδρα βάσκανος καὶ κακοποιὸς, τοσοῦτον ἂν ἴσχυσε καθ' ἡμῶν, ἀλλ' ὥσπερ τοῦ φωτὸς οὐκ ἀξίους ἐστερῆσθαι τούτου χρεὼν, οὕτω δὴ καὶ παντὸς ἀγαθοῦ, ὧν ἓν καὶ πρῶτον ἦν τῶν παρ' ἡμῖν ἡ τῶν πόλεων μεγίστη καὶ βασιλίς. Νῦν γὰρ ἐντυχόντες μυρίοις οἷς οὐδέποτε εἰσόμεθα πάντως ὡς οἱ κακοὶ γνώμαισι τ' ἀγαθὸν χεροῖν ἔχοντες οὐκ ἴσας πρίν τις ἐκβάλῃ.

Νῦν γὰρ οὐ μόνον ἡ τῶν Ἑλλήνων πληθὺς ἀνήκεστον δυστυχίαν περιβαλεῖται, ἀλλὰ καὶ πολλοὶ τῶν εἰς νῦν μέλει μικρὸν οὐδὲν, οὐδὲν ἧττον ἔσονται κατηφεῖς κατ' ἦμαρ οὐδ' ἐς ἦμαρ, ἀλλ' ἕως ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ πλέον τητῶνται τῶν αὐτῆς ἀγαθῶν, ἰδίᾳ μὲν γὰρ ἑστία τῶν Ἑλλήνων ἡ πόλις ἦν, κοινὴ δὲ πᾶσα παρεῖχε τὰ ταύτης καλὰ καὶ πᾶσιν ἁπλῶς καθειστήκει μήτηρ τροφός· ἀνάπαυλα παντοίων χορηγὸς ἀγαθῶν.

Φεῦ ὦ βασιλὶς τῶν πόλεων, ὦ δυστυχία τοῦ γένους κοινὴ, ὦ λύπη μέχρις ὀστέων διήκουσά τε

A καὶ μυελῶν, ὦ κάλλη καὶ μεγέθη ναῶν, ὦ τείχη καὶ μήκει καὶ πλάτει τῶν ἄλλων ἐξῃρημένα, ὦ μουσεῖα τῆς Ἀκαδημίας, τῆς Στοᾶς, κάλλει μὲν ὑπερφέροντα, τῇ σοφίᾳ δὲ μηδὲν ὑπερφέροντα· ὦ λιμὴν ἡδὺς μὲν πρώην καὶ εὐτυχὴς ταῖς ναυσί· νῦν δὲ δυστυχὴς καὶ τῆς Σκύλλης οὐδὲν διενηνοχώς· ὦ Ῥώμη νέα, γεγηρακυῖα δὲ τῷ βάρει καὶ πλήθει τῶν συμφορῶν· ποῦ σου νῦν τὰ καλὰ, ποῦ μὲν ὁ θειότατος βασιλεύς; ὀξύτερον μὲν Θεμιστοκλέους ὁρῶν, ἥδιον δὲ τοῦ Νέστορος ὁμιλῶν, σωφρονέστερος δὲ Κύρου, δικαιότερος δὲ Ῥαδαμάνθυος ἀνδρειότερος δὲ Ἡρακλέους· ποῦ δὲ ὁ τῆς ἐκκλησίας ὡραϊσμὸς, ὅ τε θεῖος ἀρχιερεὺς καὶ οἱ μετ' αὐτὸν εὐθὺς καὶ ὁ λοιπὸς ἱερὸς χορός; ποῦ δὲ σεμνεῖα καὶ παρθενῶνες καὶ ἡ τῶν μοναχῶν κοσμιότης, ἡ καὶ ἀγγέλοις ἐφά-

B μιλλος, ποῦ δὲ τὸ βουλευτήριον σὺν ταῖς βουλαῖς, ἐν οἷς τί μὲν δέον ὅ τι οὐχ ὁράθη, τί δ' ὁραθὲν οὐκ εὐθέως ἐπράχθη; τίνας δὲ δημηγόρας οὐ παρέτρεχον ὁμιλοῦντες, νῦν μὲν πάλαι τε καὶ μάλα λιγέως, νῦν δὲ νιφάδεσιν ἐοικότα χειμερίῃσι, τὸ δὲ κριτήριον ποῦ πάντων τῶν Σόλωνος νόμων καὶ Πλάτωνος κατόπιν ἀφὲν, ἐπιστήμῃ δὲ μᾶλλον ὡραϊσμένον πλήστῃ καὶ τοῖς ἐκ τοῦ Πνεύματος λόγοις, οἳ δὴ καὶ πειθοῦς ἁπάσης καὶ σοφίας εἰσὶν ἰσχυρότεροι; ποῦ δὲ ὁ λοιπὸς ἑσμὸς τῶν λογάδων, οἱ μὲν σοφίᾳ κεκοσμημένοι, οἱ δὲ λοιποῖς ἀγαθοῖς οἷς πολιτεία κοσμεῖταί τε καὶ συνίσταται; ἄμοιρος μὲν γὰρ ἦν οὐδεὶς τινος ἀγαθοῦ· πᾶς δὲ πρὸς ὅπερ εἶχε καλὸν ὑπ' ἄλλου μὲν οὐδενὸς ἡττᾶτο· ἡνίκα δὲ πάντας τοὺς βουλευο-

C μένους συμπλοκαῖς καὶ πάντας λοιπὸν ὁμοῦ τοῖς τῶν λογάδων ἐχρῆν ἡττᾶσθαι καλοῖς. Ποῦ δὲ τὸ τῶν λόγων κράτος ὅπερ ἦν ἀκμάζον ἐν σοί; ποῦ τῆς γραμματικῆς ἡ τέχνη, ἢ τὴν γλῶτταν ἐξελληνίζειν καὶ πάσης ἀηδίας καθίστησι καθαράν; ποῦ δὲ τῆς ῥητορικῆς τὸ πυρίπνουν, οὐδὲν ἧττον ἅπτον τοῦ τῆς χιμαίρας πυρός; ποῦ δὲ τὸ τῆς διαλεκτικῆς κράτος, σόφισμα μὲν πᾶν ἀποῤῥίπτον, μόνης δὲ ἐχόμενον ἀληθείας καὶ τῆς εὐθύτητος; Ποῦ δὲ φυσικὰ προβλήματα καὶ ζητήσεις καὶ λύσεις τὴν ἕξιν ὑπερβαίνοντα, καὶ διαιρέσεις καὶ μουσικῆς ἀναλογίαι καὶ φθόγγοι καὶ γεωμετρίας σχηματισμοὶ καὶ λόγοι, καὶ ἀστέρων αἰτίαι καὶ δρόμοι; ὡς πολλὰ μὲν τῶν παλαιῶν τοὺς ἐν τῇ πόλει χρόνῳ φθαρέντας ἀνηγερκέναι, οὐκ ὀλίγα δὲ καὶ προστεθεικέναι, καὶ

D μέχρι νῦν ὁρᾶσθαι σωζόμενα; ποῦ δὲ τὸ τῆς θεολογίας κράτος καὶ τῆς πρώτης φιλοσοφίας, ὡς εἶναι στήλην ὀρθοδοξίας τοὺς λόγους ἐκείνων καὶ δογμάτων ὀρθότητα καὶ πηγὴν, τοῦ δὲ πρακτικοῦ τῆς σπουδῆς μέρους οὐ τοῖς ὡς εἶναι τούτους εἰκόνα τινὰ ταῖς ἰδέαις μεμορφωμένων τῶν ἀρετῶν, ἐν τούτοις δὲ πᾶσι πρῶτος ἦν, ὁ τῆς σοφίας πηγὴ καὶ τῶν ἡμετέρων λόγων καθηγεμὼν ὃς οὐδενὸς ἀμφοῖν τοῖν φιλοσόφοιν ἐλάττων ἦν, φαίην δ' ἂν ὅτι καὶ μείζων μήκει μὲν οὖν ἡ πόλις πάσας τὰς ἑῴας ἁπλῶς ὑπερεῖχε κάλλει δὴ καὶ τὰς τῆς Ἑσπέρας. Τείχη δ' οὕτως ἰσχυρὰ καὶ τοῖς ἐναντίοις ἀνένδοτα, οὐκ ἂν εὕροιτο ἴσως συγκρινόμενα πρὸς αὐτά· ἣν μὲν γὰρ ἡ τάφρος εὐθὺς καὶ πλάτει καὶ βάθει καὶ πλίνθοις ὀπτοῖς κατωχυρωμένη ποταμός τις ἄλλος

τοῖς παριοῦσι δοκοῦσα· τεῖχος δ' εὐθὺς μετ' αὐτὴν ἰσχυρὸν εὕρει τε καὶ ὕψει στερεὸν, ἕτερον δὲ μετ' αὐτὸ μεῖζον τοῦ ὑπόλοιπον, ὥστε καὶ θαυμάζειν ποιοῦν τοῖς ἀτενίζουσι πρὸς αὐτό· ποῦ δ' ἂν ἴδῃς νεὼς τοσούτους κάλλει τε καὶ μεγέθει τοὺς ἁπανταχοῦ γῆς νικῶντας, λίθους τε καὶ κίοσι καὶ ψηφῖσι καὶ χρόαις καὶ ποικιλίαις παντοδαπαῖς; ποῦ δὲ λιμένα τοσοῦτον εὕροις περικαλλῆ τε καὶ μέγαν καὶ ταῖς ναυσὶν ἐπιτήδειον; νεώρια δὲ ποῦ οὕτω λαμπρά; ποῦ δὲ βασιλείων καὶ οἴκων οἰκοδομὰς καὶ φαιδρότητας; ποῦ δὲ στοῶν θέσιν καὶ ὁδῶν τάξιν καὶ λουτρῶν ποικιλίαν; ποῦ δὲ νοσοκομεῖα καὶ γηροκομεῖα καὶ πτωχοτροφεῖα τῶν ἡ πόλις πολλὴν ἐποίει σπουδήν; ποῦ δὲ ἱππόδρομον καὶ ὅσα περὶ ἐκεῖνον ἀγάλματα; ποῦ δ' ὠνίων πρᾶσιν καὶ κέρδος ἐμπόρων; Ἡ γὰρ θέσις τῆς πόλεως πάντα ἐποίει ῥᾷστα καὶ πρόχειρα· ταύτην γὰρ μόνην ἀμφοτέραις ἂν εἶδες δεξιουμένην ἠπείροις.

Εἶχε μὲν ἡ Εὐρώπη, ἐγγυτάτω δ' ἦν ἡ Ἀσία. Καὶ τοσοῦτον αὐτῆς ἀπεῖχεν ὅσον τὸ πλάτος ἐστὶ τοῦ πορθμοῦ, μεταξὺ δὲ καὶ πάσχουσα ἦν καὶ τοῦ πορθμοῦ καταβοῶσα μεγάλως ὡς διείργοντος ταύτην ἐκείνης, πλὴν ἥδετο πάλιν τὴν πόλιν ὁρῶσα μᾶλλον οὕτως εὐδιατιθεμένην καὶ τὴν ἡδονὴν ἐκείνης καὶ ἰδίαν ἐποίει καὶ μὴν καὶ τὰ διττὰ πελάγη, ἥ τε Προποντὶς καὶ ὁ Πόντος οὐκ ὀλίγην παρεῖχον τῇ πόλει τὴν ἀφθονίαν, ἀλλὰ καὶ ὁ τόπος καρποφόρος τις καὶ εὔγεως, ὡς οὐδεὶς ἄλλος· πεδιὰς γὰρ ἅπαν ἐστὶ τὸ χωρίον, ὄρεσί τε περιεχόμενον, καὶ ποταμοῖς ἀρδευόμενον, καὶ λίμναις πλείσταις πεποικιλμένον, ὥστε πανταχόθεν ἀφθονία παρῆν τῇ πόλει. Ἓν δ' ἐπὶ πᾶσιν ἐρῶ, ὅτι πᾶς τις ἐλθὼν ἐν ταύτῃ, καὶ χρόνον διατρίψας συχνὸν ἢ καὶ παιδιόθεν τραφεὶς ἐν ἐκείνῃ καὶ τῶν ταύτης ἐμπλησθεὶς ἀγαθῶν, ὅτε τοῦ χάριν τῆς πόλεως ἐξῄει εὐθὺς ἐν ἐπιθυμίᾳ ταύτης ἦν ὥσπερ μηδὲ γευσάμενος ὅλως, καὶ στρέφεσθαι, λοιπὸν ἦν ἀνάγκη καὶ ὁρᾷν πρὸς αὐτὴν μέχρις ἂν ὁ τόπος ἐδίδου· ἐδίδου ἄχρι πολλοῦ, ἐρχόμενοι δέ τινες πρὸς τὴν πόλιν, ἔτι σταδίους ἀπέχοντες οὐκ ὀλίγους ἐζήτουν μὲν ἁπάντων, μία δὲ κοινὴ διήγησις πᾶσιν ἦν τὰ τῆς πόλεως ἀγαθὰ, καί τις ἦν ἀγὼν ἐν ἐκείνοις φιλοτιμουμένοις. Τίς ἂν εἴποι πλείω θατέρων μέχρις ἂν εἰσιοῦσι τὴν πόλιν καὶ τοῖς ἐκείνης κάλλεσι φαιδρυνθεῖσιν ἅπαν μὲν λυποῦν καὶ σκυθρωπάζων ἀπῆν, ἡδονὴ δέ τις πλείστη τὰς αἰσθήσεις αὐτῶν ἐνεπίπλα ἡδίσταις δεσμοῦσα τούτους σειραῖς· εἴποι δ' ἄν τις αὐτὴν παρεικάζων πρὸς τὴν οὐράνιον σφαῖραν ἥλιον μὲν τὸν περικαλλῆ νεὼν τὴν τοῦ Θεοῦ κεκτῆσθαι σοφίαν, σελήνην δὲ τῶν ἱερῶν φοιτητῶν, ἀστέρας δὲ τοὺς λοιποὺς θείους νεοὺς καὶ τ' ἄλλα πρὸς ἄλλο τι μέρος αὐτῆς ἐφαρμόζων ἐν ᾗ καὶ Θεὸς ἀληθὴς ὑμνεῖτο καὶ τὸ τῆς πίστεως ἦν ἀκραιφνὲς, καὶ οὐδὲν ἦν θεῖον δόγμα ὃ μὴ παρ' αὐτῶν διητᾶτο καλῶς, ἀλλ' οἴχεται ταῦτα πάντα καὶ δούλη φεῦ ἡ βασιλὶς ἐγένετο.

Ὢ πῶς ἄν τις ἐκτραγῳδήσοι τὸ πάθος; ἡμέρα μὲν ἦν σκότος δὲ καὶ ζόφος τῇ πόλει, πόλεμος δ' ἔῤῥει τῇ πόλει σφοδρὸς ἔκ τε τῆς ἠπείρου καὶ τῆς ὑγρᾶς. Ὁ δ' ἀσεβὴς μηχαναῖς βάλλει τὸ τεῖχος καὶ πίπτει

A κατὰ γῆς πολλαχόθεν, ὁρμᾷ δὲ κατὰ τῆς πόλεως χεῖρα ἐπάγων βαρεῖαν, οἱ δὲ γενναίως ἀνθίστανται κατ' αὐτοῦ, καὶ πίπτει μὲν εὐθὺς ὁ θειότατος βασιλεὺς καὶ τῶν ὑπηκόων πολλοὶ σὺν αὐτῷ· ἔπειτα δὲ, βαβαὶ, δορυάλωτον πᾶσαν λαβὼν, κτείνει τε καὶ λῃλατεῖ καὶ ζωγρεῖ. Ἀνοιμώζειν δεῖ τοιγαροῦν καὶ κωκυτοὺς ἐκπέμπειν ἐκ μέσης ψυχῆς καὶ πρὸς τοὔδαφος καλινδοῦσθαι, καὶ νικᾷν πάντα νόμον θρήνων ὑπὲρ τῆς ξυμφορᾶς. Ὦ κυρία τῶν πόλεων πῶς ἠνέσχου ζυγὸν ἐπιθεῖναι δουλείαν τῷ σῷ τραχήλῳ. Ὦ θειότατε βασιλεῦ, πῶς οὕτω φιλάνθρωπος ὢν καὶ πάντα τρόπον φιλανθρωπίαν ὑπὲρ τοῦ γένους οὐκ ἀμελήσας ποιεῖν, νῦν ἠνέσχου καταλιπεῖν ἡμᾶς εἰς δυστυχίαν καὶ δουλείαν τοσαύτην, ἀναρματίστους τε ὅλως καὶ τῇ γῇ τηρουμένους καὶ τοῖς σκοπέλοις; B Ὦ λογάδων κόσμος, πῶς ἠνέγκατε τοὺς ὁμογενεῖς ἐκλιπεῖν καὶ καρδίαις τοσαύταις ἐνεῖναι βέλος δριμύ; ὦ ἱερέων ὁμήγυρις καὶ τῶν μοναχῶν, πῶς οὐκ ἐξεπέμψατε χεῖρας ἐκτενεῖς πρὸς Θεὸν ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἢ δεδράκατε μὲν πᾶν ὅσον εἰκὸς, ἔδει δὲ τοῦτο γενέσθαι τρόποις οἷς οἶδεν ἡ τοῦ Θεοῦ σοφία ἢ καὶ τὸν Παύλου νοῦν ὑπερβαίνει ἀλλὰ καὶ ἰλιγγιᾷ πρὸς αὐτὴν ἀπιδεῖν! Ὦ πολιτεία πᾶσα ἐμπορική τε καὶ τεχνική, ποῦ νῦν ἴσχεσθε τὴν ἐρωμένην ἀφέντες, ὦ γυναῖκες δυστυχεῖς, οἵαις ἐνεπέσεσθε συμφοραῖς, τέκνα μὲν ἐκ τῶν μαστῶν ἁρπαζόμενα βλέπουσαι, πατέρας δὲ νυμφίους κτεινομένους ὁρῶσαι καὶ ἀδελφούς. Ὦ σχέτλιοι γέροντες, οἷον ἐφθάσατε τέλος; ὦ κακοδαίμονες νέοι, οἵῳ θανάτῳ περιπεπτώκατε, ἄκροις δακτύλοις μόνον γευC σάμενοι τῶν καλῶν καὶ ὅσον χείλεα μέντ' ἐδίηνεν ὑπερῴην δ' οὐκ ἐδίηνεν! ὦ Σοφία θεία, νεὼς οὕτω καὶ οἶκος Θεοῦ πάντων ὅσοι κατὰ πόλεις εἰσὶν ὑπερτεροῦσα νεῶν, ποῦ νῦν σου ἡ ὡραιότης; ποῦ ἡ εὐπρέπεια; ποῦ τὸ κάλλος; ποῦ τῶν λίθων αἱ διαύγειαι; ποῦ τῶν ψηφίδων αἱ ποικιλίαι; τίς τὴν ἱεράν σου ἐντὸς τελέσει μυσταγωγίαν; τίς τὰς ἱερὰς ᾠδὰς ἀναπέμψει τῷ Θεῷ; ὦ τῶν μαθητῶν τοῦ Σωτῆρος νεὼς ἱερὸς, δεύτερος εὐθὺς μετ' ἐκεῖνον καὶ σοῦ τὸ λαμπρὸν καὶ χάριεν οἴχεται, οὐκέτι τὰς ἱερὰς ἐν σοὶ ψήφους συνοδικῶς ἐπισκέψονται, οὐκέτι διδάσκουσιν, ἐν σοὶ ὑποβαλοῦμεν τὰς ἀκοάς· ὦ λοιποὶ ναοὶ τοῦ Θεοῦ, οἱ περὶ πᾶσαν τυγχάνοντες πόλιν ἀστέρες ἄντικρυς λάμποντες ἄλλοθεν ἄλλος! ποῦ D νῦν ὁ κόσμος ὑμῶν; ποῦ τελεταί; ποῦ πανηγύρεις; ὡς ἐμιάνθητε, ὡς κατεχράνθητε, καὶ καταχραίνεσθε ποσὶν ἀσεβῶν! ὦ θεῖαι εἰκόνες καὶ ἱερὰ πάντα σκεύη καὶ κόσμος αὐτῶν, οἵαις βεβήλοις χερσὶν ἐνεπέσετε! ὦ σοροὶ τῶν ἁγίων καὶ θῆκαι, οἵοις ἀσεβέσιν ἀνδράσι σπαράγματα κεῖσθε!

Βαβαί! τῶν κριμάτων σου, Χριστὲ, φεῦ! τῆς ἀνοχῆς σου, ἐγενόμεθα νῦν ὡς τὸ ἀπαρχῆς, ὅτε οὐκ ἦρχες ἡμῶν, καὶ παρεδόθημεν πικροτάτῳ τυράννῳ καὶ ἀσεβεῖ, ἡμεῖς τε ὁ ἱερός σου λαὸς καὶ πᾶς ὁ τόπος ὁ ἅγιος. Βούλομαι τὸ πρώην ἀναλογίσασθαι πρόσον, καλὰ τῇ πόλει λόγῳ βραχεῖ καὶ παραθεῖναι τοῖς νῦν ἵνα μᾶλλον ἐκτραγῳδήσω τὴν ξυμφοράν. Ἐκεῖνα μὲν οὖν κτίσις ἀνδρὸς ἱεροῦ· ἐκεῖθεν γὰρ ἄρξομαι τὰ πρὶν ἐφεὶς καὶ θαύματα γεγονότα καθάπερ ἱστορίαι,

ἐκείνου μὲν κατ' ἀντικρὺ τῆς δυστυχοῦς ταύτης κτίζειν διανενοηκότος, ὀρνίθων δὴ τοὺς λίθους ἐκεῖθεν ἀφαρπαζόντων καὶ πρὸς τὸν νῦν διακομιζόντων καὶ συνόδων ὅσαι ὧραι συγκρότησις ἱερῶν θείων δογμάτων πέρι καὶ Θεὸς ὑμνούμενος ἀληθὴς, καὶ τελεταὶ, καὶ μυστήρια, καὶ δικαιοσύνη, καὶ νόμοι καὶ μουσεῖα, καὶ λόγοι, καὶ ἐπιστῆμαι, καὶ τέχναι, καὶ δογμάτων ἀκρίβεια, καὶ νεῴ, καὶ σοροὶ καὶ εἰκόνες ἁγίων, καὶ ἱερὰ σκεύη, καὶ κόσμος, καὶ τάξις, καὶ μυσταγωγοὶ, καὶ μύσται, καὶ σεμνεῖα, καὶ παρθενῶνες, καὶ καλλοναὶ, καὶ φαιδρότητες, καὶ βασιλεὺς χρηστὸς σὺν ἀγαθοῖς ὑπηκόοις· τὰ δὲ νῦν, οἴμοι! ἀσεβὴς δυνάστης σὺν ὑπηκόοις ὁμοίοις· καὶ σκότος καὶ ζόφος σὺν ἀσεβείᾳ καὶ ἱερέων ἀταξίᾳ σὺν ἀκοσμίᾳ καὶ σκευῶν ἁρπαγῇ, καὶ ὕβρις εἰκόνων καὶ σοροὶ διασπώμεναι, καὶ νεῴ βεβηλούμενοι, καὶ δόγμα θεῖον πᾶν σιωπώμενον, καὶ ἀλογία, καὶ ἀμουσία σὺν ἀδικίᾳ καὶ ἀνομίᾳ, καὶ δαιμόνων ὄργια καὶ συναγωγὴ πονηρὰ, κηρύττουσα τὴν ἀσέβειαν, καὶ βαρβάρων ὠμότης καθ' ἡμῶν φερομένη νεανικῶς, οὐκ ἀληθῆ Θεὸν λατρεύειν ἡμᾶς σὺν γέλωτι λέγουσα φεῦ! καὶ φθορὰ παντελής. Ἆρ' οὐ κατὰ διάμετρον ἐναντίως τῶν πρώην τὰ νῦν, τοῦ χάριν τὰ νῦν, ὦ βασιλεῦ τοῦ παντὸς, Ἱερεμίας παρίτω βοῶν οὐ μόνον ἐκκηρυκεύσας τοὺς σοὺς ἐχθροὺς, ἀλλὰ καὶ ῥίζας ἀφῆκε ποιεῖν καὶ ταύτας μεγίστας, ὡς καὶ καταφαγεῖν ἡμᾶς τὸν ἀμπελῶνα τὸν σὸν, καὶ πατεῖν οὐκ ἀφῆκας πόδας πραέων τὴν σὴν ἱερὰν αὐλήν· ἀλλὰ πατήσουσιν αὐτὴν ἀνδρῶν ἐχθίστων πόδες καὶ ἀσεβῶν. Ἀλλὰ περὶ τούτων καὶ πεφιλοσοφήκασιν, εὖ οἶδα, πολλοὶ, καὶ νῦν οὐχ ἧττον δράσουσι τοῦτο τῆς συμφορᾶς οὐκ ἐώσης τὸν νοῦν αὐτῶν ἠρεμεῖν. Ἐγὼ δὲ φαίην ἂν, ὡς μακάριοι νῦν οἱ τεθνηκότες, ἐλεεινοὶ δὲ οἱ ζῶντες καὶ θρήνων ἄξιοι, καὶ τὸ τῆς Γραφῆς δὲ προσθήσω· Μακάριαι αἱ κοιλίαι αἳ οὐ συλλήψονται, καὶ μαστοὶ οἳ οὐ θηλάσουσιν· ἢ γὰρ οὐχ οὕτως ἄν τις εἰκότως πρὸς Θεὸν οἰκονομήσῃ ζώντων τε καὶ τεθνηκότων πέρι τῶν μὲν τοῦ μακαρίου τυχόντων τέλους ὃ καὶ τέλος εὑρὸν μακαρίζεται παρὰ Σόλωνι. Κροίσου μᾶλλον πολὺν χρυσὸν κεκτημένου ἄκροις μὲν δακτύλοις τοῦ κακοῦ γευσαμένου, θανόντων δὲ εὐθὺς θνητῶν πεφυκότων καὶ τοῖς πρώτοις νῦν ἐνδιατριβόντων καλοῖς, ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς πατρίδος θανόντων, ἡμῶν δὲ τῶν ζώντων γευσαμένων μὲν τοῦ δεινοῦ μέχρι κόρου, καὶ εἰς τὸ ἑξῆς δὲ βίον ἑλκόντων ὀδυνηρὸν καὶ δακρύων ἀνάμεστον, χλεύην μὲν λαβόντων καὶ εἰρωνείαν καὶ τωθασμοὺς παρὰ πάντων, ὡς βαρβάρων δὲ μεταξὺ περιπατούντων τόσων, καὶ ἡμῶν ἀγνοούντων, τίνος ἄν τις τύχῃ θανάτου.

Ἄγε δὴ λοιπὸν, ὦ δυστυχεῖς Ἕλληνες, εἰς τοσοῦτον δεινῶν κατηγμένοι, ἡμᾶς αὐτοὺς θρηνήσωμεν, εἰ δοκεῖ, τοὺς ζῶντας. Ὦ γέροντες, τάλανες, ποῦ δὴ τὰς ἐλπίδας ἕξετε, πάσης ἀγαθῆς ἀγκύρας ἀφαιρεθείσης. ἢ ποῦ πτῶμα κείσεσθε πᾶσι, καὶ δάκρυα χύσετε πλεῖστα, ὥστε καὶ πεπληρῶσθαι τοὺς ὦπας· ἀνύσετε δὲ μηδὲν ἢ τὸ κεκτῆσθαι μὲν δυστυχεστάτην τὴν πόλιν, κακοδαιμονέστατον δὲ τὸ γῆρας! Ὦ σχέτλιοι νέοι, τίς ἡμῖν χαριεῖται κατωρθωκόσιν, ἢ παιδεύσει καλῶς
A ποιῶν ἀμελοῦντας; Ὁ γὰρ κοινὸς ἡμῶν προμηθεὺς ἀπώλετο φεῦ! Ἀλόγοις πάντως ἐπιτηδεύμασι χρώμενοι, τὸν ἑξῆς μοχθηρῶς διανύσωμεν βίον, ἐρέται τινὲς ὄντες ἢ σκαπανεῖς καὶ θῆτες. Ὦ παῖδες ἄθλιοι οἵ τε νῦν ὄντες καὶ ἐσόμενοι, τίς ὑμᾶς θρέψει καὶ παιδαγωγήσει, καὶ τὸ δέον διδάξει τῆς κοινῆς τροφοῦ καὶ διδασκάλου φθαρείσης; Συβῶται πάντως ἔσεσθε καὶ βουκόλοι, καὶ πέτρας καὶ ὄρη καὶ κρημνοὺς ἕξετε πάλιν. Ὦ δυστυχεῖς γυναῖκες, ἀντ' ἐλευθέρων μὲν ἔσεσθε δοῦλαι, ἀλλάξετε δὲ τὸ ἄρχειν τοῦ ἄρχεσθαι καὶ μαθήσεσθε πάντως ὑφαίνειν, καὶ σαίρειν, καὶ τελευταῖον τὰ ὑμέτερα λέχη λυμανοῦσιν ἄνδρες δοῦλοι, ἠξιωμέναι πρῶτον λογάδων. Ὦ λογάδες τῶν χυδαίων νῦν οὐδὲν διενηνοχότες· ὦ στρατιῶται, οὓς ἐφοβοῦντο πρῶτον πολλοὶ, νῦν δὲ παι-
B ζόμενοι παρὰ πάντων. Ὦ γεωργοὶ κακοδαίμονες, ἐκ τοῦ προχείρου νῦν ἔσται πᾶσιν ὑμᾶς ἀδικεῖν καὶ γεωργήσεσθαι ξένοις, ἀλλ' οὐχ ὑμῖν· ὦ πλῆθος τεχνιτῶν, ἀπόλοιτ' ἂν τὰ ὄργανα νῦν ὑμῶν, οὐκ ἔχοντες ὅποι χρήσεσθε τούτοις. Ὦ δυστυχεῖς ἔμποροι, ποῦ νῦν ἀφόβως τὰς ἐμπορίας ποιήσεσθε; οἷς γὰρ ὑπῆρχε παρὰ πάντων αἰδὼς καὶ θάρρος, νῦν ἀντιστρόφως ἔσται παρ' αὐτῶν ὕβρις καὶ φόβος. Ὦ ἱερέων καὶ μοναχῶν χορὸς, τί ποτε πείσεσθε νῦν; παρὰ τίνος ἕξετε τὰς τιμὰς, τὰς εὐλογίας, τὸ περιπατεῖν εὐσεβῶς, τὸ βαίνειν ὀρθῶς; σφαλέντες δὲ παρὰ τίνος λήψεσθε τὰς ἐπιτιμίας; ἀποροῦντες δὲ παρὰ τίνος ἕξετε λύσιν; τίνα δ' εἴποτ' ἔχοντες κεφαλὴν, πῶς δ' ἂν ἀπαιτούμενοι δοίητε λόγον περὶ
C τῆς ὑγιοῦς ὑμῶν δόξης; Ἀπώλετο τὸ ὑμέτερον καύχημα, ἡ κεφαλὴ, ὁ ἀρχιερεὺς, ὁ κηδεμών. Ἤ που πᾶς χρηστὸς ἀφήσας τὸ ἱερατεύειν, οὐ βουλόμενος παίζειν ἐν οὐ παικτοῖς, καθεδεῖται δὲ καθάπερ τις ἰδιώτης, πονηροὶ δ' ἄνθρωποί τινες καὶ γόητες ἁρπάσουσι βιαίαις χερσὶ τὴν ἱερὰν ἁγιστείαν πλανώμενοι καὶ πλανῶντες, τὸ τῆς Γραφῆς, καὶ διὰ τοῦτο ἀφρονεύσουσι πλεῖστοι ποιμένες, καὶ διαφθεροῦσι τὸν τοῦ Χριστοῦ ἱερὸν ἀμπελῶνα, ὑπὲρ οὗ προήκατο τὴν θείαν αὐτοῦ ψυχήν. Φεῦ τῆς ἀνηκέστου ξυμφορᾶς· φεῦ πληγῆς πληγῶν βαρυτάτης, φεῦ ξίφους τὰς τῶν Ἑλλήνων ἐκκεντοῦντος καρδίας, φεῦ τῆς κοινῆς ἀποφράδος! Φεῦ ἀφανισμοῦ παντελοῦς, φεῦ πυρετοῦ τὰ πάντων καταφρονοῦντος σώματα! Φεῦ ἰλίγγου καὶ σκοτομήνης, τὰς πάντων διιόντος κε-
D φαλάς! Νῦν ὄντως τὸ ζῆν ἀηδές· νῦν ὄντως θανεῖν χρὴ, ὅτε κακία μὲν πᾶσα τὴν γῆν ἐμπιπλᾷ, δικαιοσύνη δ' ἄπεστιν. Ἐκκλινοῦσι γὰρ πάντες καὶ ἀχρεῖοι γενήσονται, καὶ οὐδεὶς ἔσται ποιῶν χρηστότητα οὐδὲ μέχρις ἑνὸς νῦν πράγματα πάντα κατὰ τὸν φάμενον οὕτως ἔσται, καὶ νυκτομαχία τις δεινή. Ἀλλ' εἰ δοκεῖ, ζητήσωμεν ἥτις ἡμῖν ἐλπὶς ἔσται περὶ τοῦ μέλλοντος· φεῦ σιβᾶτε (sic)· ὄντως τοιγαροῦν ἡμῖν ἐλπὶς οὐδεμία τυγχάνει· νῦν οὖν χρὴ θανεῖν· κἀγὼ πρὸ πάντων τοῦτο ζητῶ. Τί γὰρ καὶ δράσεις, ὦ τάλας Ἀνδρόνικε; ποῦ πορευθῇς; εἰς ποίαν πόλιν, ὑπὸ ποίῳ κυρίῳ παρατείνας ἰδίους καὶ φίλους, τίσι χρήσῃ: αθηγεμόσι τοῦ λόγου; ὦ δυστυχοῦς ἐμῆς βιοτῆς, ὦ πικρᾶς ὀρφανίας, ὦ τροχὲ χρόνε, οἷον βάραθρον φέρων κατήνεγκας! ὦ συγγενεῖς

καθηγεμόνες καὶ φίλοι, πῶς ὑπεμείνατ' ἐμὲ τὸν ὑμέτερον φίλον καταλιπεῖν; Ἀλλ' ἄρατέ με ταχέως σὺν ὑμῖν· ἄρατε, καὶ μὴ μέλλετε· μισῶ γὰρ τὸ φῶς, τὸν ἀέρα, αὐτὸ τὸ ζῆν. Ὦ θάνατε, θάνατε, νῦν μ' ἐπίσκεψαι μολών· ὄλβιος γὰρ οὗτος ἐκεῖνος, ὃς οὐκ ἦλθεν εὐτυχέουσι, κληθεὶς δ' εὐθὺς ἔδη δυστυχέουσι βροτοῖς. Ὦ πόσα δυσπραγέοντας ἀποστρέφετ' οὔασι κωφοῖς, κλύειν δ' οὐκ ἐθέλει πενθαλέα δάκρυα· ὦ Ῥώμη θεία, τί ποτε δράσεις τῆς θυγατρὸς γενομένης δούλης! ὦ μακαριώτατε πάτερ, πῶς οἴσῃ τηλικοῦτον κακόν; ὦ καὶ σὺ, θειότατε πάτερ, πολιὲ καὶ τὰς τρίχας καὶ τὰς φρένας, ποιμὴν τῆς οὐκέτ' οὔσης· πῶς χρὴ . . . σαυτῷ τῆς φήμης ἐλθούσης; ἤ του γόον ὄρνιθος οἰκτρᾶς ἀηδοῦς οὐχ ἥσεις, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς θρηνήσ. . χειρόπληκτοι δ' ἐν στέρνοις πεσοῦνται δοῦλοι καὶ πολί. . . ἀμύγματα χαίτας. Ὦ Πελοπόννησος δυστυχὴς, νῦν σὺν τοῖς δυσὶν αὐταδέλφοις τοῦ κλεινοῦ βασιλέως θρηνήσετε καὶ πέμψετε κωκυτοὺς, αἷμα μᾶλλον ἀλλ' οὐ δάκρυον ἐκ τῶν ὀμμάτων ἐκπέμποντες, τῆς βασιλίδος φθαρείσης καὶ περὶ ὑμῶν οὐκ ἔχοντες ἐλπίζειν οὐδὲν καλόν. Ὦ θειοτάτη καὶ μεγίστη πόλις τῶν Ἐνετῶν, τί δράσετε, νῦν τῆς ἀδελφῆς ὑμῶν καὶ φίλης φθαρείσης; ποῦ νῦν αἱ τριήρεις ὑμῶν καὶ νῆες τὸν Εὔξεινον εἰσπλέουσαι πόντον, προσορμιοῦνται, φιλοφρονηθήσονται δὲ παρὰ τίνων ὥσπερ προσῆκεν; Ἀπότροπος πάντως ὁ λιμὴν ὑμῖν ἔσται καὶ Σκύλλα καὶ Χάρυβδις. Ὦ φίλοι Κρῆτες, τί πάθωμεν, νῦν τῆς πικρῆς ὀρφανίας ἐπεισελθούσης ἡμῖν; τύψομεν ἤ που τὰ στήθη, καὶ ξανοῦμεν τὰς παρειὰς, καὶ τὰ σπλάγχνα τῇ θλίψει δράσομεν ἀηδίας μεστὰ, καὶ τὸν πάντα χρόνον διάξομεν ὥς τινες ἡμιθανεῖς, ἕλκοντες βίον ὀδυνηρὸν καὶ θανάτου μηδὲν διαφέροντα. Ὦ πικρᾶς ἀλγηδόνος, ὦ φαγεδαίνης κατεσθιούσης τὰ σώματα πάντων· νῦν χορεῖαι κατηφεῖς τῶν ἀγγέλων, νῦν ἡ τοῦ μεγάλου Κωνσταντίνου θεία ψυχὴ, σὺν πᾶσι τοῖς χοροῖς τῶν ἁγίων, ἀηδίαν περιβάλλεται καὶ σκυθρωπάζει· πείθομαι γὰρ καθάψεσθαι καὶ τούτων τὸ πάθος. Νῦν οὐρανὸς ἀκαλλής. Νῦν ἥλιος ὀλοφύρεται, νῦν σελήνη μελαίνεται, νῦν ἀστέρες οἰμώττουσι, νῦν ὁ ἀὴρ ζοφοῦται, νῦν ἡ γῆ κλονεῖται καὶ στένει, νῦν ἡ θάλασσα κυματοῦται καὶ φρίσσει καὶ δυσχεραίνει τῷ πάθει· νῦν ὄρη καὶ βουνοὶ καὶ νάπαι καὶ πεδιάδες καὶ ποταμοὶ συμπάσχουσι· νῦν δένδρα καὶ θάμνοι καὶ πόαι μαραίνονται, καὶ δακρύουσι, νῦν στρουθεῖα πάντα γοερόν τι μέλος καὶ θρηνῶδες ἐκπέμπουσι, νῦν τὸ τῶν χερσαίων γένος, γοερῶς μυκώμενον, τὴν ὑπερβολὴν τοῦ πάθους δεικνύουσι, νῦν τοῖς βράγχεσι ἰχθῦς κτύπον δρῶντές τινα, ἐμφαίνουσι δυσχεραίνειν τῷ πάθει· δεῖ γὰρ ταῖς μεγίσταις συμφοραῖς πάντα κόσμον συμπάσχειν, καὶ κατηφῆ τυγχάνειν καὶ σκυθρωπὸν, ὥσπερ κἀπὶ τῷ πάθει γέγονε τοῦ Δεσπότου. Τοῦτο γὰρ ἐγὼ, μετ' ἐκεῖνο δεύτερον τάττω, πλὴν καθόσον τὸ μὲν τῆς σωτηρίας τοῦ κόσμου προοίμιον ἦν, τὸ δὲ τῆς σωτηρίας, ὡς εἰκάζειν ἔστιν ἐκ τῶν θείων Γραφῶν, κἂν μὴ τοῖς ἡμετέροις ὀφθαλμοῖς ὁρῶνται τοιαῦτα σημεῖα, ἀχρηστίας χάριν, ὅτι πλείστης ἡμετέρας τυγχάνει· τὰς γὰρ ἀκρίτοις ὅλως ἀνθρώποις, οὐ σημεῖα φαίνεσθαι δεῖ, ἀλλ' αὐτὸ τὸ τέλος εἰκὸς ἀθρόοις

A ἐφίστασθαι. Φεῦ τῆς ἀνηκέστου ξυμφορᾶς! πᾶν μὲν ἄν τις ἤλπισε μᾶλλον ἢ τοῦτο παθεῖν, κἂν ἡ μάντις, ἡ θεία μοίρα κινούμενος προεῖπεν ἡμῖν, οὐκ ἀκινδύνως ἂν ἀπηλλάγη. Φεῦ νῦν ὄντως πρῶτον ἔγνων παθῶν ὑπὸ συμφορᾶς, καὶ οὐκ ἰσχύω τῷ πάθει φιλοσοφεῖν· νῦν πρῶτον οἶδα ὅτι δύναται πάθος καὶ νοῦν θολύνειν, καὶ λόγον οὐκ ἐᾷ προϊέναι, καὶ λιθώδη τινὰ τὸν ἄνθρωπον δρᾷν. Νῦν τὰς τραγικὰς περιείληχα μούσας, αἱ δέ με περιιστάμεναι πείθουσιν οἰμωγὰς ἐκπέμπειν καὶ κωκυτοὺς, καὶ ὀλολύζειν πικρῶς. Φεῦ, τίς Δαίδαλος νῦν με πτερώσας πρὸς τὴν πόλιν ἀπάξει, καὶ στρέψει πάλιν ταχέως; Βούλομαι γὰρ ἰδεῖν, ἀλλ' οὐ προσμεῖναι· τὸ μὲν ἵνα περιχυθῶ τοῖς παιδικοῖς καὶ κειμένοις, τὸ δ', ἵνα μὴ πολὺν

B ὁρῶ χρόνον, ἃ μηδ' ἐπαΐειν ἰσχύω. Φεῦ νῦν ἱστορίαι πᾶσαι καὶ μῦθοι καὶ ποιηταὶ σιγήσονται πάντως, οἷς χρώμενος πᾶς τις, τὸ συμβαῖνον ἐκείνῳ κακὸν ἐδήλου, ἐντεῦθεν δὲ ῥᾷστα τὴν ὑπερβολὴν τοῦ κακοῦ δηλώσει. Ἑάλω μὲν γὰρ καὶ Τροία, ἀλλὰ δικαίως, ὑπὲρ ὑβριστοῦ δειλοῦ μαχομένη, καὶ οὔτε τοσαύτη καὶ προσέτι βάρβαρος ὑφ' Ἑλλήνων· Ἱερουσαλὴμ, ἀλλὰ μυρίων οὖσα ποινῶν ἀξίαν δεσποτικὸν δράσασα φόνον καὶ Παλαιστίνης ἄρχουσα μόνον, Βαβυλὼν, ἀλλ' οὐ τοσαύτη τὴν φήμην, οὐδ' ἐκ περάτων ἄρξασα, εἰ καὶ τὸν περίβολον εἶχε μέγαν, Ῥώμη, ἀλλ' οὖν ἐλπὶς παρὰ τῆς θυγατρὸς ἐκλυθῆναι, ὃ δὴ καὶ καλῶς ποιοῦν ἠκολούθησε, τὴν δ' ἐξ Ἑσπέρας ἄρξασαν μέχρις κάλλει δὲ νικῶσαν ἁπάσας, ἀρεταῖς δὲ

C παντοίαις κεκοσμημένην, ἀδικοῦσα δὲ μηδένα, ἀδικουμένη δὲ πλεῖστα ὑπὸ Βαρβάρου κατενηνέχθαι, καὶ μηδὲ ἐλπίζειν ἀναστήσεσθαι πάλιν. Τοῦτο δὲ συμφορὰ συμφορῶν, καὶ πάθος πάθους, καὶ λύπη λύπης, ἐμπεριεκτικὴ ἁπάντων. Ἐφθείρετο μὲν οὖν ἡ τῆς πόλεως ἀρχὴ πάλαι, καὶ κατεσμικροῦτο, καὶ μηδαμόθεν ἐβοηθεῖτο, νῦν δὲ κατέπεσε πᾶσα καὶ γέγωνεν, ὥσπερ ἂν εἴποις, σῶμα καλὸν λαβὼν, κόπτει μὲν πρῶτον τὰ ἄκρα, τὸ τελευταῖον δ' αὐτὴν τὴν κεφαλὴν κατενέγκει. Ἢ καθάπερ μέγα δένδρον, ἀποθερίζει μὲν πρῶτον τοὺς κλάδους, ἔπειτα δὲ καὶ τὴν ῥίζαν· ἣν δ' ἂν ταυτὸν, εἴπερ εἰλήφει τὴν πόλιν πρὶν ἀφαιρεθῆναι τὸ κράτος, ὥσπερ εἰ καὶ τὴν κεφαλὴν ἀποτέμνοι τἀνθρώπου καὶ τὴν ῥίζαν τοῦ δένδρου, πρὶν ἐκκοπῆναι τὰ μέλη τε καὶ τοὺς κλά-

D δους· τὸ γὰρ αὐτὸ πάσῃ γῇ καὶ πόλει, ὅπερ ἀνθρώπῳ καὶ δένδρῳ κεφαλή τε καὶ ῥίζα. Ἄγε δὴ, λοιπὸν πᾶς ὅστις αἴσθησιν ἔχει τοῦ πάθους (ἔστι δ' οὐδεὶς, ὃς μὴ τοῦτο πάσχει) ξυναυλίαν ὀδυρώμεθα τὴν κοινὴν πατρίδα τε καὶ τροφόν. Οἱ γέροντες τὴν γηροκομῶσαν, οἱ νέοι τὴν φιμοῦσαν τὰς ἀλόγους ὁρμὰς τῆς ψυχῆς, οἱ παῖδες τὴν παιδεύουσαν ἀγαθῶς, αἱ γυναῖκες τὴν σωφρονοῦσαν, οἱ ἄρχοντες τὴν τιμῶσαν, οἱ στρατιῶται τὴν στρατηγόν· οἱ γεωργοὶ τὴν δικαιοσύνην, οἱ τεχνῖται τὴν χρωμένην ὑμῶν, οἱ ἔμποροι τὸ κέρδος, οἱ πλέοντες τὸν λιμένα, οἱ ὁδοιπόροι τὴν ἀνάπαυλαν, οἱ πένητες τὴν πορίζουσαν, οἱ πτωχοὶ τὴν τρέφουσαν, οἱ αἰχμάλωτοι τὴν ῥύουσαν, οἱ ὀρφανοὶ τὴν μητέρα, αἱ χῆραι τὴν προστάτιν, οἱ ἱερεῖς τὴν ὁδηγὸν, οἱ

μοναχοὶ τὴν εὐκοσμίαν, οἱ ἐν λόγοις τὴν πρὸς πᾶσαν ἐπιστήμην εὐθύνουσαν, οἱ πάντες τὴν πᾶσι πλησίως διδοῦσαν τὰς ἡδονάς. Ὦ πικρᾶς ἀλγηδόνος, ὢ πικρᾶς ὁμίχλης τοῖς ὀφθαλμοῖς ἁπάντων ἐπιπεσούσης, ὢ φήμης διερχομένης πάντα τὸν κόσμον, καὶ πληρούσης ἅπαντα ζάλης καὶ ἀηδίας καὶ σκότους! Νῦν θρηνήσουσιν Ἰταλοὶ, νῦν οἱ Κελτοὶ κλαύσουσι, νῦν Γαλάται καὶ Βρετανοὶ, νῦν Γερμανοὶ, καὶ Ἰλλυριοὶ καὶ Θρᾶκες καὶ Παίονες, νῦν Ἴβηρες ἀνοιμώξουσι, νῦν Ἰνδοὶ σκυθρωπάσουσι, νῦν γένος ἅπαν καὶ ἡλικία πᾶσα καὶ νῆσοι καὶ ἤπειροι κα-

A ταχλύψονται· ὁ γὰρ ἅπας κόσμος ἀεὶ τὴν παλαιὰν τιμὴν μετ' ἐπιεικείας ἀπεδίδου τῇ πόλει· οἶμαι δὲ καὶ τὸν πικρὸν δυνάστην λυπηθῆναι· μικρὸν γοῦν τὴν καλλονὴν ὁρῶντα τῆς πόλεως φθειρομένην καὶ τὴν τερπνότητα. Ἡ γὰρ τῆς δυστυχίας ὑπερβολὴ πρὸς οἶκτον οἶδε πολλάκις καὶ τοὺς ἐχθίστους κινεῖν. Νῦν οὖν καιρός ἐστιν ὀπήν τινα σμικροτάτην εὑρεῖν καὶ κλεισθῆναι ταύτης ἐντὸς ἀσφαλῶς, καὶ θρηνεῖν καὶ κλαίειν διαπαντός· τούτου γὰρ οὔτ' ἦν, οὔτ' ἔσται χεῖρον κακόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

# ORDO RERUM

## QUÆ IN HOC TOMO CONTINENTUR.

### *BESSARION. S. R. E. CARDINALIS.*

PROLEGOMENA.

*De vita et rebus gestis Bessarionis Aloysii Bandinii Commentarius.* 1

*Appendix monumentorum anecdotorum, partim ex archivo basilicæ SS. XII Apostolorum, partim ex Vaticana bibliotheca descriptorum.* LXI

*Index rerum præcipuarum quæ in Dissertatione continentur.* XCVII

*Baptistæ Platinæ Panegyricus in laudem Bessarionis, eo vivente in publico cœtu dictus.* CIII

*Acta selecta quæ ad Bessarionis legationem Bononiensem pertinent.* CXVII

*Michaelis Apostolii laudatio funebris Bessarionis.* CXXVII

*Joannis Alberti Fabricii Notitia historica et bibliographica.* CXXXIX

BESSARIONIS OPERA.

REFUTATIO CAPITUM SYLLOGISTICORUM MARCI EPHESII CONTRA LATINOS, nunc primum edita curante J. Hergenrœther, s. theologiæ in Wirceburgensi litterarum universitate professore. 11

APOLOGIA Inscriptionum Vecci, contra Gregorium Palamam, Petro Arcudio interprete. 213

DEFENSIONES recti catholicique dogmatis Latinorum, videlicet, de processione Spiritus sancti contra hæreticum illud impugnantem, Græce Latineque edita. — (*Idem nempe opus cum superiori, at Latine ex interpretatione Bessarionis ipsius. Vide Monitum præfixum.*) 287

DE PROCESSIONE SPIRITUS SANCTI, ad Alexium Lascarin Philanthropinum, ex interpretatione Petri Arcudii. Præmittitur Bessarionis ad Paulum II Pontificem Maximum Epistola nuncupatoria. 321

Idem liber, Latine, ex interpretatione Bessarionis. 407

EPISTOLA ENCYCLICA AD GRÆCOS. Exhortatur ad obedientiam Romanæ Ecclesiæ et susceptionem synodi Florentinæ; et de electione sua in patriarcham Cpolitanum. Petro Arcudio interprete. Præmittitur Epistolæ argumentum, in quo inquiritur de patriarchis Cpolitanis qui Josepho in Italia mortuo successerunt. 417

Eadem Epistola ex interpretatione Bessarionis. 481

GRÆCORUM CONFESSIO de verbis consecrationis et transsubstantiatione, a Bessarione exposita in concilio Florentino. Ex Mabillonii Musæo Italico. 489

DE SACRAMENTO EUCHARISTIÆ et quibus verbis Christi corpus conficiatur. Ex Claudii de Sainctes Liturg. SS. PP. 493

COMPENDIUM ASCETICORUM S. BASILII MAGNI ad usum monachorum Basilianorum in Italia et Sicilia degentium concinnatum. Ex Joan. Yriarte Cod. Gr. Matrit. addita interpretatione nostra. 525

CONCIO gratulatoria ad synodum *Ferrariæ* conciam. 531

ORATIO dogmatica ad eamdem synodum de unione Ecclesiarum, ipso Bessarione interprete. 543

DECLARATIO aliquorum quæ in dicta oratione continentur, quæ Græcis notissima, Latinis ignota sunt. 611

MONODIA IN OBITU MANUELIS PALÆOLOGI, anno 1419 defuncti. Ap. Bzovium Contin. Annal. Baron. ad an. 1472. 615

IAMBI IN OBITU THEODORÆ AUGUSTÆ, Constantini Imp. uxoris. Ex Allatio De consensu. 621

IN ILLUD EVANGELII SECUNDUM JOANNEM: *Si volo eum manere donec veniam, quid ad te?* Contra Georgium Trapezuntium, quem vide infra, col. 867, Bessarioni contradicentem. Ex edit. Haganoensi anni 1532. 623

ORATIONES ad principes Italiæ de Christianorum clade in Chalcide *Eubœæ*, de periculis Italiæ imminentibus expugnata Hydrunto, de sedandis discordiis et decernendo bello adversus Turcas, quibus subjicitur persuasio ex Demosthenis *Olynthiaca*. — Præmittuntur Bessarionis epistola ad Fichetum, Universitatis Parisiensis rectorem, cui prædictas orationes mittit; epistola Ficheti ad Sabaudiæ principes; nec non Bessarionis epistola ad homonymum suum Bessarionem, abbatem Basilianum. — Ex edit. Rom. anni 1537, 4. 641

BESSARIONIS EPISTOLÆ.

I. Ad Paulum Pontificem Maximum de errore Paschatis. 675

II. Ad eumdem in librum de Spiritu sancto Prœmium. 678

III. Ad Græcos. Exhortatur eos ad obedientiam sacrosanctæ Romanæ Ecclesiæ et susceptionem synodi Florentinæ. Et de electione sua in patriarcham Cpolitanum. 678

IV. Ad capitulum, canonicos et capellanos ecclesiæ Duodecim Apostolorum de Urbe. — Eis statuta et constitutiones mittit. 676

V. Ad Guillelmum Fichetum, doctorem Sorbonicum. — Orationes mittit a se ad principes Italiæ directas de periculis Italiæ imminentibus et decernendo bello contra Turcas. 678

VI. Ad pædagogum liberorum Thomæ Despotæ. 678

VII. Ad Theodorum Gazam. — Quæ ex interpretationibus Theophrasti et Aristotelis commoda rei litterariæ proventura sibi promiserit, ingenue confitetur. 686

VIII. Ad Michaelem Apostolium. — Eum reprehendit quod in apologia pro Gemisto Plethone scripta, contra Theodorum Gazam et Aristotelem calidius esset invectus. 687

IX. Ad Andronicum Callistum. — Mittere se nuntiat lato a se sententiæ apographa, epistolam superiorem

Ευ. Ζήσης Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

significans qua Michaelem Apostolium reprehendit. 691
X. Ad filios Plethonis. — Consolatoria. 695
XI. Ad Nicolaum Secundinum. — Superioris epistolæ exemplar mittit. 697
XII. Ad Ludovicum XI regem. — Scribit a summo pontifice legatum se electum, ut pacem inter regem ipsum et duces Burgundiæ ac Britanniæ, armis depositis, componere curaret. 699
XIII. Ad principem senatumque Venetiarum. — Bibliothecam suam omni librorum genere instructissimam eidem senatui defert ac donat. 700
Tabula librorum quos serenissimo Venetiarum dominio dona dedit Bessarion. 701
Bessarionis interrogationes ad Plethonem cum Plethonis ad Bessarionis quæsita responsionibus. 715
Georgii Amirutzæ ad Bessarionem. De Trapezunte a Turcis anno 1461 expugnata. 723
Gregorii monachi Epistola ad Bessarionem laudatoria. 727
Ejusdem in eumdem oratio encomiastica. 731
Bessarionis ex oratione in patriam suam Trapezuntem.

## GEORGIUS TRAPEZUNTINUS.

*Notitia ex Allatii Diatriba de Georgiis.* 745
*Notitia altera ex Chr. Frid. Boerneri De doctis viris Græcis litterarum Græcarum in Italia instauratoribus.* 765
SCRIPTA.
De processione Spiritus Sancti, ad Joannem Cuboclesium. 769
Item de processione Spiritus sancti et de una sancta catholica Ecclesia, ad Cretenses. 829
In illud Evangelii secundum Joannem : *Sic volo eum manere donec veniam, quid ad te?* et quod Joannes evangelista nondum sit mortuus. Ad Sixtum IV Pontificem Maximum. 867
Martyrium S. Andreæ de Chio qui Cpoli obiit anno primo Pauli II Pontificis summi, a Georgio Latine scriptum. 883
Epistola ad Eugenium IV summum pontificem, de unione Ecclesiarum, ex Mittarelli *Bibliotheca codd. mss. monasterii S. Michaelis Venet. prope Murianum.* 889
Epistola ad Joannem Palæologum imp. Ut in Italiam ad synodum proficiscatur. Ad calcem Phrantzæ ed. Pontanus. 895

## CONSTANTINUS LASCARIS.

*Notitia ex Christ. Frid. Boerneri de doctis hominibus Græcis litterarum Græcarum in Italia instauratoribus.* 907
Constantini Lascaris epistola ad Joannem Gatum, Catanæ episcopum, libro de Scriptoribus Græcis patria Siculis præmissa. Ex Yriarte Catal. cod. Gr. Matrit. cum interpretatione nostra. 915
De Scriptoribus Græcis patria Siculis. 913
De Scriptoribus Græcis patria Calabris. 925
Gesta apostolorum Petri et Pauli, Constantino Lascari interprete. 929
Prooemium ad libros de grammatica qui in excusis desideratur. Ap. Yriarte lib. cit. 931
Epilogus ejusdem libri. 937
Epistola ad Jacobum Ximenium Murellium, proregis insulæ Siciliæ a secretis. De Herodiani grammatici vita et scriptis, et de Theodosio, ejus epitomatore. Ex Yriarte, lib. cit. 939
De Quinto poeta. Argumenta ejus libris a Constantino Lascari præfixa. 942
Liber de poeta, in quo breviter poeseos natura atque origo indagantur, et varia illius genera indicantur. Apud Pasini codd. Gr. Taurin. 951
Epistola ad discipulos suos libello de Tropis et figuris præmissa. Ex Yriarte. 953
Epistola ad Georgium Placentinum de significatu dictionum ὀρφίκιον et ὀρφικιάλιος quas Græci a Latinis mutuati sunt. Ex eodem. 955
Epistolæ quatuordecim familiares. 957
De Demetrii ac Thomæ, Peloponnesi despotarum, Constantini imp. fratrum, post captam urbem casibus eorumque sobolis serie. 961
Notitia imp. Cpolitanorum a Theodoro Lascari ad Constantinum III et urbem captam. 963
Notitia successorum Basilii imp. usque ad captam urbem. 965
Epitaphium Theodori Gazæ, Phanurii Geracii Rhodii. 967
Carmen funebre in Joannem Catholicorum regum filium unigenam, in Ferdinandum Comum, Siciliæ rectorem, in Georgium Rhalem. 969

## THEODORUS GAZA.

*Notitia ex Allatio de Theodoris.* 971
*Notitia altera ex Boerneri libro citato.* 977
Laudatio canis, ep. Maii B. PP. 986
De origine Turcarum ad Fr. Philelphum, ex Allatii Symmictis. 987
(*Theod. Gazæ Liber de mensibus exstat in appendice ad Eusebii Chronicon, hujusce Patrologiæ tom. XIX, col. 1167.*)
Epistola ad Demetrium Chalcocondylem. 1005
— ad eumdem. 1008

## ANDRONICUS CALLISTUS.

*Notitia ex Boerneri libro citato.* 1015
Epistola ad Georgium Palæologum Disypatum. 1017
Monodia de Cpoli capta, ex cod. Reg. Paris. 1774 nunc primum edita. 1131
Cpolitanorum imp. novellæ constitutiones inde ab anno 1220 usque ad captam urbem. 1019

FINIS TOMI CENTESIMI SEXAGESIMI PRIMI.

Imprimé par les Usines Brepols S. A. — Turnhout (Belgique).
PRINTED IN BELGIUM

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006